ὄντος αὐτὴν εἰς τὸ εἶναι παραγαγόντι· ὅπερ οὖν καὶ τότε ἐδείκνυ. Τὰ γὰρ σώματα ἡ φλὸξ ἀπολαβοῦσα φθαρτά, καθάπερ ἀφθάρτων ἀπέσχετο καὶ σῶαν τὴν παρακαταθήκην ἀπέδωκεν, καὶ μετὰ πολλῆς τῆς λαμπρότητος. Ὥσπερ γὰρ ἐκ βασιλείων τινῶν βασιλεῖς, οὕτως ἀπὸ τῆς καμίνου προήεσαν οἱ παῖδες ἐκεῖνοι, οὐδενὸς εἰς τὸν βασιλέα ἀνεχομένου λοιπὸν ὁρᾶν, ἀλλὰ πάντων ἀπ' ἐκείνου τοὺς ὀφθαλμοὺς μεταθέντων ἐπὶ τὴν παράδοξον θεωρίαν, καὶ οὔτε τὸ διάδημα, οὔτε ἡ ἁλουργίς, οὔτε ἄλλο τι τῆς φαντασίας τῆς βασιλικῆς, οὕτω τοὺς ὄχλους ἐπέστρεφεν, ὡς ἡ θέα τῶν παίδων ἐκείνων, ἐγχρονισάντων μὲν τὸ πυρί, οὕτω δὲ ἐξελθόντων ἐκεῖθεν ὡς τοὺς ἐν ὀνείρῳ τοῦτο παθόντας εἶκος ἦν. Καὶ γὰρ ὃ πάντων εὐθραυστότερον ἦν τῶν ἐν ἡμῖν, ἡ τῶν τριχῶν φύσις, τοῦτο ἀδάμαντος ἰσχυρότερον ἐκράτει τῆς παμφάγου φλογός.

6. Καὶ οὐ τοῦτο μόνον ἦν τὸ θαυμαστόν, ὅτι εἰς μέσον ἀποληφθέντες ἔπαθον οὐδέν, ἀλλ' ὅτι καὶ διὰ τῶν ὕμνων φθεγγόμενοι διὰ παντός· ἴσασιν δὲ πάντες ὅσοι τοῖς καιομένοις παραγεγόνασιν, ὡς ἕως μὲν ἂν ἔχωσιν μεμυκότα τὰ χείλη, βραχὺ γοῦν ἀντέχουσι πρὸς τὸν ἔμπρησμον· εἰ συμβαίη δὲ διᾶραι τὸ στόμα αὐτούς, εὐθέως ἀφίπταται τοῦ σώματος ἡ ψυχή. Ἀλλ' ὅμως τοσούτων γενομένων θαυμάτων, καὶ πάντων καταπλαγέντων, καὶ τῶν παρόντων καὶ θεωμένων καὶ τῶν ἀπόντων καὶ διὰ γραμμάτων τοῦτο μεμαθηκότων, ὁ τοὺς

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/38 UNIVERSITÄT LEIPZIG